Σ 105 Παλινϲκίῳ: ϲκοτεινῷ· τὸ γὰρ πάλιν ἐπίταϲιν δηλοῖ, ὡϲ πα-
Rhet.(?) λιγκάπηλοϲ καὶ παλίμπρατοϲ. ἡ κοινὴ ϲυνήθεια παλίνϲκια λέγει τὰ μὴ ὑπὸ τοῦ ἡλίου θερμαινόμενα πεδία.

Σ 106 Παλιντράπελον: ἀντίϲτροφον, ἐναντίον, ἀντεϲτραμμένον.

Soph. 107 Παλιντριβῆ· Σοφοκλῆϲ· πῶϲ οὐδὲν κακὸν ἀπώλετο. ἀλλ' εὖ περιϲτέλλουϲιν αὐτὰ δαίμονεϲ, καί πωϲ τὰ μὲν πανοῦργα καὶ παλιντριβῆ χαίρουϲ' ἀναϲτρέφοντεϲ ἐξ ᾅδου, τὰ δὲ δίκαια καὶ χρήϲτ' ἀποϲτέλλουϲ' ἀεί.

108 Παλίντροποϲ: ὀπιϲθόρμητοϲ. γυμνὸν ἰδοῦϲα Λάκαινα παλίν-
Anth. τροπον ἐκ πολέμοιο παῖδ' ἑὸν ἐϲ πάτραν ὠκὺν ἱέντα πόδα.

Δ 109 Παλίουροϲ: εἶδοϲ φυτοῦ ἀκανθώδουϲ.

Σ 110 Παλίωξιϲ: ἡ ἐξ ἐπιϲτροφῆϲ δίωξιϲ· ὅταν οἱ φεύγοντεϲ μετα-
E βαλλόμενοι διώκωϲιν. Ἀγαθίαϲ· οἱ δὲ Ῥωμαῖοι ϲφᾶϲ αὐτοὺϲ ἐξελίξαντεϲ ὑπηντίαζον τοῖϲ διώκουϲιν ἀντιμέτωποι καὶ παίοντεϲ ἀφειδῶϲ ἀντώθουν, καὶ ἐϲ παλίωξιν τὰ τῆϲ φυγῆϲ μετεχώρει.

Σ 111 Παλιρρόθιον: εἰϲ τοὐπίϲω ἐφωρμηκόϲ.

112 Παλίρροια.

Suid. 113 Παλμικὸν οἰώνιϲμα· ὅπερ Ποϲειδώνιοϲ ϲυνεγράψατο· οἷον ἐὰν πάλλῃ ὁ δεξιὸϲ ὀφθαλμόϲ, τόδε ϲημαίνει.

Δ 114 Παλμουλάριοϲ: ὄνομα κύριον.

Σ 115 Παλλόμενον: ἁλλόμενον, πληρούμενον.

Σ 116 Πάλοϲ: κλῆροϲ. ὁ δὲ Δαρεῖοϲ τούτουϲ κελεύει πάλλεϲθαι·
E παλλομένων δέ, λαγχάνει ἐκ πάντων Βαγαῖοϲ.

Σ 117 Παλμόϲ: τρόμοϲ, ϲειϲμόϲ.

Σ 118 Παλτά: τὰ δόρατα. ὁ δὲ Κῦροϲ ἀναβὰϲ ἐπὶ τὸν ἵππον τὰ παλτὰ
E ἐπὶ τὰϲ χεῖραϲ ἔλαβε. καὶ Ἀρριανόϲ· ἐξηκόντιζον εἰϲ τοὺϲ προμα-
E χομένουϲ τοῦ τείχουϲ, οἱ μὲν παλτά, οἱ δὲ λίθουϲ, οἱ δὲ τοξεύματα.